24/12/2023

# Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής προ της Χριστού Γεννήσεως

/ Ορθόδοξες Προβολές




## Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής προ της Χριστού Γεννήσεως (Ματθ. α´ 1-25)

Βίβλος γενέσεως ᾿Ιησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ ᾿Αβραάμ. ᾿Αβραὰμ ἐγέννησεν τὸν ᾿Ισαάκ, ᾿Ισαὰκ δὲ ἐγέννησεν τὸν ᾿Ιακώβ, ᾿Ιακὼβ δὲ ἐγέννησεν τὸν ᾿Ιούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ,᾿Ιούδας δὲ ἐγέννησεν τὸν Φάρες καὶ τὸν Ζάρα ἐκ τῆς Θαμάρ, Φάρες δὲ ἐγέννησεν τὸν Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν ᾿Αράμ,᾿Αρὰμ δὲ ἐγέννησεν τὸν ᾿Αμιναδάβ, ᾿Αμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών,Σαλμὼν δὲ ἐγέννησεν τὸν Βοὸζ ἐκ τῆς ῾Ραχάβ, Βοὸζ δὲ ἐγέννησεν τὸν ᾿Ιωβὴδ ἐκ τῆς ῾Ρούθ, ᾿Ιωβὴδ δὲ ἐγέννησεν τὸν ᾿Ιεσσαί,᾿Ιεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα. Δαυὶδ δὲ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου,Σολομὼν δὲ ἐγέννησεν τὸν ῾Ροβοάμ, ῾Ροβοὰμ δὲ ἐγέννησεν τὸν ᾿Αβιά, ᾿Αβιὰ δὲ ἐγέννησεν τὸν ᾿Ασάφ,᾿Ασὰφ δὲ ἐγέννησεν τὸν ᾿Ιωσαφάτ, ᾿Ιωσαφὰτ δὲ ἐγέννησεν τὸν ᾿Ιωράμ, ᾿Ιωρὰμ δὲ ἐγέννησεν τὸν ᾿Οζίαν,᾿Οζίας δὲ ἐγέννησεν τὸν ᾿Ιωαθάμ, ᾿Ιωαθὰμ δὲ ἐγέννησεν τὸν ᾿Αχάζ, ᾿Αχὰζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν,Ἑζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησεν τὸν ᾿Αμώς,

᾿Αμὼς δὲ ἐγέννησεν τὸν ᾿Ιωσίαν,᾿Ιωσίας δὲ ἐγέννησεν τὸν ᾿Ιεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος ᾿Ιεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβαβέλ,Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν ᾿Αβιούδ, ᾿Αβιοὺδ δὲ ἐγέννησεν τὸν ᾿Ελιακίμ, ᾿Ελιακὶμ δὲ ἐγέννησεν τὸν ᾿Αζώρ,᾿Αζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησεν τὸν ᾿Αχίμ, ᾿Αχὶμ δὲ ἐγέννησεν τὸν ᾿Ελιούδ,᾿Ελιοὺδ δὲ ἐγέννησεν τὸν ᾿Ελεάζαρ, ᾿Ελεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησεν τὸν ᾿Ιακώβ,᾿Ιακὼβ δὲ ἐγέννησεν τὸν ᾿Ιωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη ᾿Ιησοῦς ὁ λεγόμενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ ᾿Αβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ ᾿Ιησοῦ Χριστοῦ ἡ γένεσις οὕτως ἦν. Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ ᾿Ιωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. ᾿Ιωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν δειγματίσαι, ἐβουλήθη λάθρᾳ ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος κυρίου κατ᾿ ὄναρ ἐφάνη αὐτῷ λέγων· ᾿Ιωσὴφ υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου, τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου·τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ᾿Ιησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ προφήτου λέγοντος,᾿Ιδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ ᾿Εμμανουήλ, ὅ ἐστιν μεθερμηνευόμενον Μεθ᾿ ἡμῶν ὁ Θεός. Διεγερθεὶς δὲ ὁ᾿Ιωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ·καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν υἱόν· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ ᾿Ιησοῦν.

**(Κεντρική φωτογραφία: Ραφαήλ Γεωργιάδης / [ope.gr](ope.gr))**